Ἀναλυθήσεται γᾶν εἰς συλλογισμὲς δύω, ὧν τῷ μὲν ἡ μείζων, τὸ Σωκράτιω καθηγήσαθαι τῆς παιδείας Ἀριστοτέλει, τῷ δὲ, τὸ Πλάτωνα. Συναγόμενον δὲ ἑκατέρῳ, ὅτι τὶς Ἀθηναῖος, κ.τ.λ.

Ὡσαύτως δὲ καὶ τῷ συμπλεκτικῷ κατηγορεμένῳ.

Ἀριστοτέλης φιλοσοφεῖ, καὶ περιπατεῖ.
Ἀριστοτέλης ἐστὶν ἐκ Σταγείρων.
Τῶν ἐκ Σταγείρων ἄρατις φιλοσοφεῖ, καὶ περιπατεῖ.

§. ψνς'. Οἱ δὲ τὸν ἐξ ἀποφατικῆς συμπλεκτικῆς μόνον ὡς ἐκ τῷ κατηγορεμένῳ, χρήσεως εἶναι τινὸς ἀξιῶσιν (1), οἷον,

Οὐδεὶς δύναται ΘΕΩ δηλοῦειν καὶ Μαμμωνᾷ.
Οἱ φιλοκτήμονες δηλοῦειν προήρηνται τῷ Μαμμωνᾷ.
Οὐκ ἄρα δύνανται δηλοῦειν τῷ Θεῷ.

Εὔοδος δὲ ὁ ἕτως ἔχων ὅταν τῇ θατέρᾳ τῶν κατὰ τιὼ συμπλοκιὼ μερῶν θέσει, Ἰιὼ ἄρσιν τῷ ἑτέρᾳ συνάγῃ, ὡς ὁ ἀνωτέρω. Οὐκ ἀνάπαλιν δὲ, ἐπειδὰν τῇ ἄρσει τιὼ θέσιν. Οὐ γὰρ ἔστις ἐχὶ τῷ Θεῷ δηλοῦσι, τῷ Μαμμωνᾷ παραυτίκα δηλογραφήσεται ὁ τοιῶτος. Οὐδ' εἰ μὴ τῷ Μαμμωνᾷ δηλοῦσι, τῷ Θεῷ δηλοῦσει. Ὁ γὰρ τῶν ἀσώτων βίος ἐλέγχει τὸ συναγόμενον.

§. ψνζ'. Ἐφ' ὧν δὲ τρίτον ἐδὸν μεταξὺ φέρεται, ἀμέσως ἀντιφερομένων, καὶ τῷ ἑτέρᾳ ἀναιρεθέντος, θάτερον ἂν καταφατικῶς συναχθείη. Οἷον,

Οὐδεὶς ἀριθμὸς, ἄρτιος ὁ αὐτὸς καὶ περιττὸς ἅμα.
Ὁ δὲ τριαδικὸς ἐκ ἔστιν ἄρτιος. Περιττὸς ἄρα· καὶ ἀνάπαλιν. Ἀλλὰ γὰρ τὲς τοιότες ἐπὶ τὲς Διαζευκτικὲς ὀρθῶς ἄντις ἀνακαλέσαι. Περὶ ὧν κατωτέρω.

Περὶ Συλλογισμῷ Αἰτιολογικῷ.

§. ψνή.

Τέτε ἀμφοῖν, ἢ τῇ ἑτέρᾳ μόνον τῶν προκειμένων, πρότασις ἑτέρα εἰς κατασκεὐιὼ τῷ λεγομένῳ παρασυνάπτεται. Καθ' ὃ καὶ Αἰτιολογικὸς εἴρηται, ὡς ἐξ ἀμφοῖν, ἢ τῆς ἑτέρας Αἰτιολογικῆς (§. υιθ'.)· λέγεται δὲ καὶ Ἐπιχείρημα. Οἷον,

Πᾶν

(1) Περὶ Τέχν. τῶ Νοεῖν. Μέρ. Γ'. Κεφ. κβ'.

Πᾶν ἄϋλον ἀθάνατον. Ἁπλῶν γὰρ ὄν, καὶ κρεῖττον ἔσαι συνθέσεως· καὶ ἀδὲ τῇ μάχῃ ὑποκείσεται τῶν ἐναντίων, ἐξ ἧς ἡ λύσις, ἐν ᾗ ὁ θάνατος.

Ἀλλ. ἡ ψυχὴ ἄϋλος ἐστὶν, ἅτε δὴ ταῖς τῶν νοητῶν ἀντιλήψεσιν ἑαυτιὼ μεταβάλλεσα, ὃ πάντῃ τῆς ὕλης ἐστὶν ἀλλότριον.

Ἄρα ἡ ψυχὴ ἀθάνατός ἐσιν.

§. ψνθ'. Διὰ τῶ ὠ τῇ Αἰτιολογέσῃ καινῶ ὄρῳ, ὡς διὰ μέσῳ, τιὼ αἰτιολογεμένῳ πρότασιν κατασκεὐάζοντες εἰς τοσότες ἀναλύομεν τὸ Ἐπιχείρημα συλλογισμὲς, ὅσα τῶν αἰτίων ἐστὶ τὰ παρεισαγόμενα· Οἷον ἐπὶ τῶ τεθέντος (§. ἀνωτ.) κατασκεὐάσειέ τις τὸ ἄϋλον εἶναι ἀθάνατον, ὡς διὰ μέσε τῶ μὴ λύσιν ἐπιδέχεθαι. Εἶτα καὶ τὸ ἄϋλον μὴ εἶναι λύσιν ἐπιδεχόμενον, διὰ τῶ κρεῖττον εἶναι συνθέσεως καὶ ἁπλῶν. Ὡσαύτως δὲ καὶ τιὼ ψυχιὼ ἄϋλον ἔσαν δείκνυμεν ἐπὶ τῆς ἐλάσσονος, διὰ τῶ ἑαυτιὼ μεταβάλλειν. Τῶτο δὲ διὰ τῶ νοεῖν ἄλλοτε ἄλλως καὶ ἄλλα, ἅπερ ἂν ἐθέλοι. Ὥσε ἐν συλλήψει Διανοιῶν πλειόνων κείσεται τὸ πιχείρημα, καὶ συλλογιὼ ἄντις συλλογισμῶν αὐτὸ ὀνομάσειεν, ὥσπερ συλλογιὼ λόγων πλειόνων τὸν συλλογισμὸν ἐτυμολογῶντες ἀπέδωκαν (1).

§. ψξ'. Τοῖς Αἰτιολογικοῖς συλλογισμοῖς πολὺ καίτοι τὸ χρειῶδες ὠ ταῖς συγγραφαῖς ἔχσιν, ἐ πάντῃ χρῆθαι ἐπιτρέπσι, κατὰ τὰς διαλεκτικὰς σωσσίας. Ἐν ταύταις γὰρ πρὸς τὸ ἀκριβὲς τῶ χήματος τὰς συλλογισικὰς ἐφόδες ἐπιτηδεύοντας, τῆς ἰῶ ὁ προσδιαλεγόμενος ἀπέφῃ προτάσεως τιὼ δεῖξιν ὡς ἤδη νέᾳ προβλήματος, δι' ἄλλε συλλογισμῶ κατασκεὐάζειν εἰώθασι, καὶ ἕτως ἐφεξῆς, ἄχρι τῶν ἀναποδείκτων. Βίβλον δὲ συγγράφοντι ἀποδεικτικῶς, τὸ σειρὰς ἐπιπλέκειν συλλογισμῶν ἐκτενεσέρας ἐπιτηδεύεθαι, ἐξὸν συντόμως τε καὶ ἀπερίττως τιὼ κατασκεὐιὼ παραθέθαι, ψυχρόντε λίαν καὶ ἀπειρόκαλον.

Περὶ Συλλογισμῷ Διαζευκτικῷ.

§. ψξά.

Τοιῶτος ὁ ἀπὸ Διαζευκτικῆς (§. υκδ'.) τῆς μείζονος (2). οἷον, ἤτοι Γῆ κινεῖται, ἢ Ἥλιος· Γῆ δ' ἀκινεῖται. Ὁ ἄρα Ἥλιος.

(1) Ὅρα §. φνθ'. Σημεί.
(2) Τῶτον κατὰ διάζευξιν Ὑποθετικὸν ἀποκαλῶν ἀξιῶσι, τῷ κατὰ συνέχειαν, ἢ ἀναλλαθίαν, (περὶ ἃ ἡμῖν ἐξῆς)